UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Maroni. 38.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

μένη ἱσταμένη, καλαβοῶν δέ σου αἰώνια, ἐξ οἵων ἐκτίσθη κακῶν, καὶ τοὺς ἐστερημένους μισθοὺς ἀπαιτῶν, καὶ τὴν ἄμυναν τῶν βλαβέντων ζητῶν.

çat: vt quæ sublimis quidem & excelsa stet; verùm ob ea mala, ex quibus extructa est, sempiterno clamore te insectetur, ereptásque mercedes à te expetat, vltionémque eorum, qui incommodis ac detrimẽtis abs te affecti fuerint, poscat.

Μάρωνι. λη.

Ξένον τι καὶ ἀλλόκοτον εἶναί σε θηρίον πάντες κωμῳδοῦσιν, οὔτε τραπέζῃ κολακευόμενον, οὔτε δεσμοῖς ἀγάπης κρατούμενον, οὔτε τῇ τυράννου συνηθείᾳ χειρούμενον, καὶ τοιαύτην ὕβριν τῷ θυσιαστηρίῳ ἐπισυρόμενον. ἢ τοίνυν ἄρνησαι τὸ ἀτίθασον, καὶ ἀντὶ θηρίου φάνηθι ἄνθρωπος ἢ παῦσον τὴν κατὰ τῆς ἐκκλησίας λοιδορίαν, σαυτὸν εἴργων τῆς φρικτῆς λειτουργίας.

*Maroni.* 38.

Nouam quandam ac prodigiosam ferã te esse omnes dictitant, vt qui nec mensa demulcearis, nec amoris ac beneuolentiæ vinculis coërcearis, nec principis consuetudine ac familiaritate subigaris, tantámque altari contumeliam accersas. Aut igitur indomitam istam feritatem abiura, & pro bellua hominem te præbe: aut contumeliam, quæ Ecclesiæ inuritur, siste atque comprime, teipsum videlicet à tremendo sacrificio remouens.

Θεοδοσίῳ μονάζοντι. λθ.

Τί θαυμάζεις, ὅτι δι' ἑνὸς ἁμαρτίαν καὶ μόνου, ὅλη μαστίζεται πόλις. ὅπερ καὶ ἐπὶ Δαβὶδ γενόμενον ἔγνως. ὅταν γὰρ ἐπὶ τῇ εὐθηνίᾳ τῶν πραγμάτων ὁ ἔξαρχος ὑπερηφανεύηται, εἰς ἀθυμίαν αὐτοῦ καὶ κατάκρισιν τὸ ὑπήκοον ἐλαττοῦται, οὐκ ἀδίκως παιδευόμενον, ἀλλ' ἑκάστου τὰ ἐπίχειρα τῆς οἰκείας πράξεως παραλαμβάνοντος, καὶ τῆς θείας μακροθυμίας ἀποτυγχάνοντος, διὰ τὰς τοῦ ἄρχοντος ψήφους. μὴ τοίνυν ἐπισυνηγόρει ταῖς Εὐσεβίου τοῦ, ὡς οἴεται, ἐπισκόπου φαυλότησιν, εἰ δι' ἐκεῖνον καὶ τὸ θυσιαστήριον λειτουργῶν, καὶ ἡ πόλις οἰκητόρων χηρεύει. οἱ γὰρ ἀκρίτως τὸν ἀνάξιον προβαλλόμενοι δίκαιοί εἰσι, καὶ τοὺς πόνους τῶν καρπῶν αὐτῶν φαγεῖν, ἀρετὴν ἀτιμάσαντες, καὶ κακίαν οὕτω περιφανῆ προστησάμενοι.

*Theodosio Monacho.* 39.

Quid miraris ob vnius ac solius peccatum vniuersam vrbem flagris affici, quemadmodum etiam Dauidis tempore conti- 2.Re.34.
gisse non ignoras. Nam cùm ob rerum copiam, florentémque statum, Princeps insolescit, ad ipsius mœrorem & condemnationem subditi deprimuntur. Nec verò illi iniquè castigantur: verùm vnusquisque actionis suæ præmia recipit; ac propter Principis calculos diuina longanimitate orbatur. Quamobrem ne Episcopi, vt putat, Eusebij vitiis patronum te præbe; quòd propter eum, & altare ministris, & ciuitas incolis careat. Nam qui temerè ac sine iudicio indignum hominem elegerunt, digni sunt qui laborum suorum fru-
ctus edant; vt qui virtutem contempse- Psa.127.
rint, atque improbitatem ita perspicuã elegerint.

Τούβᾳ στρατιώτῃ. μ.

Οὐκ ἔστιν ὁπλοφορεῖν ἐν εἰρήνῃ. οὐκ ἔστι σχῆμα πολέμου ἐπὶ μέσης ἀγορᾶς περιφέρειν· οὐκ ἔστι ξιφήρη διάγειν ἐν πόλει, ἀλλὰ καὶ φόβον καὶ πεῖραν

*Tubæ Militi.* 40.

In pace arma gestare minimè decet, nec *In ignauũ militẽ.* bellicum habitum in medio foro circunferre, nec in ciuitate cum ense versari; verùm & terrorẽ, & eiusmodi experimẽtum